www.tezaurliturgic.ro

# ΙΑΝΟΥΑΡΙΟΥ Β΄
# ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΙΛΒΕΣΤΡΟΥ ΠΑΠΑ ΡΩΜΗΣ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε ἀνυμνήσωμεν, πνευματικῶς ὦ φιλέορτοι, ἀγαλλόμενοι σήμερον, τὸν ὅσιον Σίλβεστρον, τὸν ἐν Ἱεράρχαις, μέγιστον φωστῆρα, τὸν καταυγάζοντα λαμπρῶς, τῆς Ἐκκλησίας ἅπαν τὸ πλήρωμα, βοῶντες· Χαῖρε Ἅγιε, ποιμὴν τῆς Ῥώμης χρηστότατε, Ἀποστόλων συμμέτοχε, καὶ Δικαίων ὁμόσκηνε.

Κόσμου τὰς τερπνότητας, ἀπαρνησάμενος ὅσιε, ἰσαγγέλως ἐβίωσας, καὶ ὤφθης τῆς πίστεως, θεῖος μαργαρίτης, Σίλβεστρε παμμάκαρ· ἡ γὰρ ἀγάπη ὁλικῶς, Χριστοῦ κατέτρωσε τὴν καρδίαν σου. Διὸ τῆς ὑπὲρ ἔννοιαν, μακαριότητος ἔτυχες, τὸν φιλάνθρωπον Κύριον, μεγαλύνας τῷ βίῳ σου.

Δύναμιν τὴν ἄμαχον, θαυμάτων ὅσιε Σίλβεστρε, προμηθείᾳ τῇ κρείττονι, πλουτήσας κατήσχυνας, τὴν ὀφρὺν τῆς πλάνης, καὶ στήλας εἰδώλων, τὰς παμβεβήλους καθελών, ναοὺς ἀνήγειρας τῷ Κυρίῳ σου· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ ἡμῶν εὐφημούντων σε, ἵνα λάβωμεν Ἅγιε, τῶν πταισμάτων συγχώρησιν.

Ἄγγελος ἐπίγειος, βροτός τε ὄντως οὐράνιος, Ἱεράρχης θεόσοφος, ποιμὴν φιλοπρόβατος, ἄκακος καὶ πρᾶος, Σίλβεστρε ἐδείχθης, τῇ ὑπὲρ φύσιν σου ζωῇ, δι᾽ ἧς οἰκεῖος Θεῷ γεγένησαι· ὃν Πάτερ καθικέτευε, ἐν παῤῥησίᾳ δεόμεθα, τὴν εἰρήνην δωρήσασθαι, τοῖς πιστῶς εὐφημοῦσί σε.

Δόξα Πατρί. Ἦχος γ΄.

Τὸ καθαρὸν τοῦ Πνεύματος καταγώγιον, Σίλβεστρον τὸν ἐν Ἱεράρχαις μακάριον, δεῦτε πιστοὶ μακαρίσωμεν. Οὗτος γὰρ ὁ θαυμάσιος, ἱερωσύνης τὴν στολὴν ἀμπεχόμενος, καθαρῶς τῷ Κυρίῳ ἐλειτούργησε, καὶ ἐν σοφίᾳ ἀληθεῖ, προκινδυνεύων τῆς πίστεως, τῆς ἀληθείας τὸ κράτος ἐτράνωσε· νῦν δὲ ἐν οὐρανοῖς, τῷ ἐν Τριάδι Θεῷ παριστάμενος, τῇ Ἐκκλησίᾳ τὴν εἰρήνην αἰτεῖται, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός. Ἀνδρέου Κρήτης.

Φαιδρὰ μὲν ἡ παρελθοῦσα Ἑορτή, ἔνδοξος ἡ παροῦσα ἡμέρα. Ἐν ἐκείνῃ τῷ Σωτῆρι Μάγοι προσεκύνησαν· ἐν ταύτῃ δὲ τὸν Δεσπότην, δοῦλος κλητὸς ἐβάπτισεν. Ἐκεῖ Ποιμένες ἀγραυλοῦντες, εἶδον καὶ ἐθαύμαζον· ὧδε φωνὴ τοῦ Πατρός, τὸν μονογενῆ Υἱὸν ἐκήρυττε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε οἱ εὐσεβεῖς, ὑμνήσωμεν συμφώνως, Χριστοῦ τὸν Ἱεράρχην· ὦ Σίλβεστρε βοῶντες, ἡμᾶς εὐχαῖς σου στήριζε.

www.tezaurliturgic.ro



Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Οἶκον τῶν ἀρετῶν, σαυτὸν ἀποτελέσας, ἐποίμανας ἀξίως, Χριστοῦ τὴν ἐκλογάδα, θεόφρον πάτερ Σίλβεστρε.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Πλάνης εἰδωλικῆς, τὸ φρύαγμα καθεῖλες, κηρύξας ἐν σοφίᾳ, τῆς χάριτος τὸν λόγον, ποιμὴν τῆς Ῥώμης Σίλβεστρε.

Δόξα Πατρί. Τριαδικόν.

Ἄναρχε παντουργέ, τρισήλιε Θεότης, Σίλβεστρου ταῖς πρεσβείαις, τοὺς πίστει προσκυνοῦντας, τὸ κράτος σου ἐλέησον.

Καὶ νῦν. Προεόρτιον.

Χόρευε ποταμέ· ἰδοὺ γὰρ ὁ καθαίρων, τὴν ἁμαρτίαν κόσμου, ἔρχεται βαπτισθῆναι, ἐν ῥείθροις σου ὡς εὔσπλαγχνος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια Προεόρτια γ΄ καὶ τοῦ Ἁγίου γ΄.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Προεόρτια ᾄσματα, εὐσεβῶς προηχήσωμεν, τοῦ σεπτοῦ Βαπτίσματος τοῦ Θεοῦ ἡμῶν· ἰδοὺ γὰρ μέλλει ὡς ἄνθρωπος, σαρκὶ παραγίνεσθαι, πρὸς τὸν Πρόδρομον αὐτοῦ, καὶ αἰτεῖσθαι τὸ Βάπτισμα, τὸ σωτήριον, εἰς ἀνάπλασιν πάντων τῶν ἐν πίστει, ἱερῶς φωτιζομένων, καὶ μετεχόντων τοῦ Πνεύματος.

Ὁ Χριστὸς ἀναδείκνυται, ὁ Θεὸς ἐπιφαίνεται· ὁ Δαυῒδ προέγραψεν ἐμφανέστατα· καὶ πρὸς τὸν δοῦλον τὸ Βάπτισμα, αἰτούμενος ἔρχεται, Ἰορδάνη ποταμέ, εὐφροσύνης πληρώθητι, γῆ καὶ θάλασσα, οἱ βουνοὶ καὶ τὰ ὄρη καὶ ἀνθρώπων, νῦν σκιρτήσατε καρδίαι, φῶς νοητὸν εἰσδεχόμεναι.

Ποταμὸν τῆς εἰρήνης σε, καὶ χειμάῤῥουν ὡς γέγραπται, τῆς τρυφῆς ὑπάρχοντα παντοδύναμε, πῶς σε ποτάμια ῥεύματα, εἰσδέξονται Κύριε, ἐπιβαίνοντα γυμνόν, οὐρανοὺς τὸν τοῖς νέφεσι, περιβάλλοντα, καὶ γυμνώσαντα πᾶσαν τὴν κακίαν, τοῦ ἐχθροῦ καὶ ἀφθαρσίαν, τοὺς γηγενεῖς ἐπενδύσαντα;

Στιχηρὰ Προσόμοια τοῦ Ἱεράρχου.
Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἱεράρχα Σίλβεστρε, ἱερωσύνης φωτί, ἱερῶς φωτιζόμενος, τοὺς πιστοὺς ἐφώτισας, φωτοβόλοις διδάγμασι, Μονάδα φύσει τὴν τρισυπόστατον, οὐσίαν σέβειν καὶ ἀπεδίωξας, σκότος αἱρέσεων· τὴν φωσφόρον σήμερον ὅθεν φαιδρῶς, μνήμην σου γηθόμενοι, πανηγυρίζομεν.

Πάτερ θεοφόρε Σίλβεστρε, στύλος ὡράθης πυρός, ἱερῶς προηγούμενος, ἱεροῦ συστήματος, καὶ νεφέλη σκιάζουσα, Αἰγύπτου πλάνης πιστοὺς ἐξαίρουσα, καὶ πρὸς τὴν θείαν γῆν μεταφέρουσα, ταῖς ἀπλανέσι σου, διδαχαῖς ἑκάστοτε· τὴν εὐκλεῆ, ὅθεν καὶ σεβάσμιον, μνήμην σου σέβομεν.

Πάτερ θεηγόρε Σίλβεστρε, ῥείθροις τῶν σῶν προσευχῶν, τὸν πολύμορφον δράκοντα, ἀσφαλῶς ἀπέπνιξας, ἱερῶς θαυμαζόμενος, Ἑλλήνων πλήθη Θεῷ προσήγαγες, Ἑβραίων θράσος δὲ ἐταπείνωσας, θαύματα μέγιστα, ἐκτελῶν ἐνώπιον τούτων σαφῶς· ὅθεν σε γεραίρομεν, καὶ μακαρίζομεν.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Σήμερον ὡς οὐρανόφωτος ἀστήρ, ἡ τοῦ Ἱεράρχου ἀνέτειλεν ἡμέρα, τῶν εὐσεβῶν τὰ συστήματα φωταγωγοῦσα, τῶν εὐλαβῶς βοώντων αὐτῷ· Χαίροις ὁ δι᾽ ἀρετῶν ἐργασίας, καθυποτάξας τὸ χεῖρον τῷ κρείττονι, καὶ Ἱεράρχης ὅσιος, τῆς Ἐκκλησίας γενόμενος· χαίροις ὁ ἀποστολικοῖς προτερήμασιν, ἐν τῇ τοῦ Κορυφαίου καθέδρᾳ διαπρέψας, ὡς ποιμὴν φιλοπρόβατος, καὶ λειτουργὸς ἐνθεώτατος· χαίροις τῆς εὐσεβείας ὑπέρμαχος, καὶ καθαιρέτης τῆς πλάνης, τῶν εἰδώλων ὑπέρλαμπρος. Παῤῥησίαν οὖν ἔχων πρὸς Θεόν, τὸν ὑπὲρ λόγον σε δοξάσαντα Σίλβεστρε, αὐτὸν ἐκτενῶς καθικέτευε, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν τιμώντων σε.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Ἔρχεται πρὸς Ἰορδάνην, Χριστὸς ἡ ἀλήθεια, τοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου, καὶ φησὶ πρὸς αὐτόν· Ἐγὼ χρεία ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; οὐ τολμῶ ὁ χόρτος προσψαῦσαι

www.tezaurliturgic.ro



τῷ πυρί· σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 111 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Ἐπισκόπου Νεοκαισαρείας.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Τὸν εὐκλεῆ Ἱεράρχην, τὸν κοσμήσαντα τὴν καθέδραν, Πέτρου τοῦ Κορυφαίου Μαθητοῦ, Σίλβεστρον τὸν πανεύφημον, χρεωστικῶς εὐφημήσωμεν σήμερον. Οὗτος γὰρ καὶ μετὰ πότμον, παρὰ Κυρίου μεγάλως δοξασθείς, ἐν κόσμῳ ἐνεργεῖ τὰ θαυμάσια, διδάσκων ὀρθοδόξως ἡμᾶς προσκυνεῖν, τὴν τρισυπόστατον φύσιν τῆς Θεότητος, καὶ κραυγάζειν ἐν κατανύξει τῷ Χριστῷ, τῷ ἐνανθρωπήσαντι Λόγῳ τοῦ Πατρός· Ὁ θαυμαστὸς ἐν τοῖς Ἁγίοις σου, Κύριε δόξα σοι.

Ἦχος ὁ αὐτός.

Σίλβεστρον τὸν ἐν Ἱεράρχαις μακάριον, τὸν ἀκολουθήσαντα Ἀποστόλων τοῖς ἴχνεσι, δεῦτε πιστοὶ εὐφημήσωμεν κράζοντες· Χαίροις τῆς ἐν χάριτι ζωῆς, ὑποφήτης θεόληπτος, καὶ τοῦ λόγου τῆς πίστεως, διδάσκαλος οὐράνιος· χαίροις τῶν μυστηρίων τοῦ Θεοῦ, ἱερουργὸς ἐνθεώτατος, καὶ ἐν σοφίᾳ θεοδωρήτῳ, ψυχῶν κυβερνήτης ἀκριβέστατος· χαίροις Ὀρθοδοξίας φωστήρ, ὁ μυστικαῖς σου ἀκτῖσι, τῆς πλάνης διασκεδάσας τὴν σκαιότητα. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Πάτερ θεοδόξαστε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Ὡς διδάσκαλος πάνσοφος, τῆς εὐσεβείας μακάριε Σίλβεστρε, ἐν θαύμασι ξενηκούστοις, καὶ λόγοις θεοδιδάκτοις, τῆς εἰδωλομανίας τὴν ἀπάτην κατῄσχυνας, καὶ ἐξεπαίδευσας πάντας προσκυνεῖν, τὴν τρισήλιον φύσιν τῆς Θεότητος, τὸν ἕνα ἐν Τριάδι Θεόν, τὸν λόγῳ μόνῳ ποιήσαντα, ἐκ τοῦ μὴ ὄντος τὰ σύμπαντα· ᾧ σὺν τοῖς ἀπ' αἰῶνος ἐκλεκτοῖς, μετ' εὐφροσύνης νῦν παριστάμενος, ἱερῶς μνημόνευε καὶ ἡμῶν, τῶν εὐλαβῶς τιμώντων σε.

Ἦχος ὁ αὐτός.

Ὅσιε πάτερ, Ἱεράρχα θεόσοφε Σίλβεστρε, Εὐαγγελίου τῇ γνώσει καλλυνόμενος, τοῖς θεοσόφοις σου διδάγμασι, τὴν ἑλληνικὴν σοφίαν ἀπεμώρανας, καὶ τῶν Ἑλλήνων τοὺς δοκησισόφους ἐδίδαξας, ἐν ἀληθείᾳ Χριστὸν προσκυνεῖν, τὸν ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθέντα, καὶ ἀποπλύναντα ἐν τοῖς ὕδασι τὸν ῥύπον, τῆς προγονικῆς παραβάσεως. Αὐτὸν οὖν Πάτερ ἱκέτευε ἐκτενῶς, ὡς παῤῥησίαν πολλὴν πλουτήσας, δωρήσασθαι ὡς φιλάνθρωπος ἡμῖν, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Ποταμοὺς εὐσεβείας ἀναβλύσας, ἐκ τοῦ τιμίου σου στόματος, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἀφθόνως κατήρδευσας, Ἱεράρχα μακάριε Σίλβεστρε· καὶ κατέκλυσας τῆς τῶν εἰδώλων λατρείας, τὴν ψυχολέτειρα εἰς τέλος πλάνην, λυμαινομένην ἀθλίως τὰς ψυχάς, δι' ἃς εὐσπλάγχνως ὁ Κύριος ἡμῶν, ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου, τὸ κοσμοσωτήριον ἐδέξατο Βάπτισμα. Αὐτῷ οὖν πρέσβευε Πάτερ ἀεί, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, τῇ Ἐκκλησίᾳ τὴν ὁμόνοιαν, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος ὁ αὐτός.

Ὅσιε πάτερ, τῶν Ῥωμαίων ποιμὴν Σίλβεστρε, τῆς ὑπερκοσμίου γνώσεως, τῷ ἀνεσπέρῳ φωτὶ λαμπρυνόμενος, τὸν τῷ Βαπτιστῇ τὴν κεφαλὴν ὑποκλίναντα, καὶ συνθλάσαντα τῶν δρακόντων τὰς κάρας, Θεὸν ἀληθινὸν τρανῶς διεκήρυξας, ἐπ' ἐσχάτων φιλανθρώπως συγκαταβάντα, ἵνα λυτρώσηται τὸ γένος τοῦ Ἀδάμ, τῆς πικροτάτης παραβάσεως. Αὐτὸν οὖν μακάριε, ἱκέτευε δεόμεθα, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας ἡμῶν τῶν τιμώντων σε.

Δόξα Πατρί. Ἦχος β΄.

Δεῦτε εὐσεβῶς σήμερον ἀδελφοί, τοῖς προεορτίοις τῆς τοῦ Σωτῆρος Ἐπιφανείας, τὴν μνήμην λαμπρῶς συνεορτάσωμεν, Σιλβέστρου τοῦ μακαριωτάτου Ἱεράρχου, τοῦ δίκην ἀστέρος φαεινοῦ, τῇ Ἐκκλησίᾳ ἐκλάμψαντος. Οὗτος γὰρ ὁ μακάριος, διὰ τὴν εἰς ἄκρον ἀρετῆς ἀνάβασιν, τῇ ἐπινεύσει τοῦ Παναγίου Πνεύματος, τοῦ Κορυφαίου τῶν Ἀποστόλων, τὴν καθέδραν ἐπλούτησεν, ἐν ᾗ χριστομιμήτῳ ποιμασίᾳ διέπρεψε· σοφίᾳ δὲ οὐρανίῳ κοσμούμενος, τοῦ Εὐαγγελίου τῷ κηρύγματι, τοὺς ἐν ταῖς ἀνοδίαις πλανωμένους, τῆς

www.tezaurliturgic.ro



ἀθέου τῶν εἰδώλων ἀπάτης, πρὸς τὴν ὁδὸν τῆς ἐπιγνώσεως τοῦ Θεοῦ, ἀσφαλῶς ἐχειραγώγησεν. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Ὦ Πάτερ τρισμακάριστε, Ἀποστόλων συμμέτοχε καὶ Δικαίων ὁμόσκηνε, ὡς παῤῥησίαν ἔχων πολλήν, μὴ καταισχύνῃς ἡμᾶς ὡς συμπαθής, τοὺς πιστῶς ἐλπίζοντας τῇ πρεσβείᾳ σου.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός. Ἀνδρέου Κρήτης.

Πάλιν Ἰησοῦς ὁ ἐμός, καθαίρεται ἐν τῷ Ἰορδάνῃ, μᾶλλον δὲ καθαίρει τὰς ἁμαρτίας ἡμῶν· ἔρχεται γὰρ ἀληθῶς ἐπὶ τὸ Βάπτισμα, ἐκπλῦναι θέλων τοῦ Ἀδὰμ τὸ χειρόγραφον, καὶ φησὶ πρὸς τὸν Ἰωάννην· Δεῦρο, ὑπηρέτησον ὦ Βαπτιστά, μυστηρίου ξένου τὸ κεφάλαιον· δεῦρο ἔκτεινον τὴν σὴν χεῖρα ταχύ, καὶ ἅψαι τῆς κορυφῆς, τοῦ συντρίψαντος τὴν κάραν τοῦ δράκοντος, καὶ ἀνοίξαντος τὸν Παράδεισον, ὃν ἔκλεισεν ἡ παράβασις, ἀπάτῃ τοῦ ὄφεως, τῇ γεύσει τοῦ ξύλου ποτέ.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ τῶν Ῥωμαίων ἱερώτατος πρόεδρος, ἁπάσης τῆς οἰκουμένης, ὁ διαυγὴς ὀφθαλμός, καὶ τῆς Ἐκκλησίας ἡ εὐπρέπεια· μακάριε Σίλβεστρε, εὐσεβείας κραταίωμα, τῆς ἀσεβείας, ἡ τελεία κατάπτωσις, τῶν αἱρέσεων, ἡ ἀμφίστομος μάχαιρα· πάντας τοὺς καταφεύγοντας, πιστῶς τῇ πρεσβείᾳ σου, τήρει ἀπήμονας Πάτερ, τῶν ἐν τῷ βίῳ κακώσεων, Χριστὸν ἱκετεύων, τὸν παρέχοντα τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Χαίροις ὁ ἀκριβῶς τοῦ Χριστοῦ, ἀκολουθήσας ὡς ἐχέφρων τοῖς ἴχνεσι, καὶ φθάσας ἔνθα αὐγάζει, φῶς τῆς ἀφράστου ζωῆς, Σίλβεστρε Πατέρων ἐγκαλλώπισμα· τῷ θείῳ γὰρ ἔρωτι, τὴν ψυχὴν τιτρωσκόμενος, σκιάν καὶ ὄναρ, τὰ ἐν κόσμῳ λελόγισαι, καὶ ὡς ἄσαρκος, ἐπὶ γῆς πεπολίτευσαι· ὕπνον δὲ τοῖς ἁγίοις σου, βλεφάροις οὐκ ἔδωκας, ποίμνην ποιμαίνων ἀξίως, τὴν λογικὴν τοῦ Κυρίου σου· ὃν Πάτερ δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Ζήλῳ τῆς εὐσεβείας τρωθείς, Εὐαγγελίου τῷ ἁγίῳ κηρύγματι, ἐφείλκυσας πρὸς τὴν πίστιν, τὴν ἀληθῆ τοῦ Χριστοῦ, Σίλβεστρε ἀνθρώπων πλῆθος μέγιστον· μαχαίρᾳ δὲ Ὅσιε, τῶν ἐνθέων δογμάτων σου, τὰ ἀκανθώδη, τῶν βλασφήμων αἱρέσεων, πάντα ἔτεμες, θεοφρόνως ζιζάνια· πάντας τε ἐξεπαίδευσας, δι᾽ ἔργων καὶ λόγων σου, φρονεῖν τὰ ἄνω οἷς Πάτερ, εὐαρεστεῖται ὁ Κύριος· ἀεὶ ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος γ΄.

Ἀποστόλων ἀκριβῶς τοῖς ἴχνεσιν ἑπόμενος, τῆς εἰδωλομανίας τὸ θράσος κατέβαλες, Ἱεράρχα Σίλβεστρε θεοδόξαστε· οὐ γὰρ μόνον τοῦ Κορυφαίου Μαθητοῦ, τὴν καθέδραν ἀξίως ἐπλούτησας, ἀλλὰ καὶ τὸν πύρινον ζῆλον αὐτοῦ, ὑπὲρ τῆς ἀληθείας ἐκληρονόμησας. Ὅθεν παρὰ Θεοῦ μεγάλως δοξασθείς, ἐν εὐσεβείᾳ διάγειν ἡμᾶς, τὸν βίον ἅπαντα ἐνίσχυσον, τῇ δυνάμει τῆς ἁγίας πρεσβείας σου, ὡς συμπαθὴς τοῖς καλοῦσί σε Ὅσιε.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός. Ἀνδρέου Κρήτης.

Δεῦτε ἅπαντες πιστοί, τὴν Ἰουδαίαν ἀφέντες, διέλθωμεν τὴν ἔρημον τοῦ Ἰορδάνου, καὶ θεασώμεθα σήμερον ἐκεῖ, τὸν δι᾽ ἡμᾶς ἐπιφανέντα σαρκί, τὸ Βάπτισμα αἰτοῦντα, ἐν τοῖς ῥείθροις τοῦ Ἰορδάνου, τὸν Βαπτιστὴν παραιτούμενον, καὶ βοῶντα τῷ φόβῳ· Οὐ τολμῶ χειροθετῆσαι τῇ πηλίνῃ παλάμῃ τὸ πῦρ. Ὁ Ἰορδάνης καὶ ἡ θάλασσα ἔφυγον, Σωτήρ, καὶ ἀπεστράφησαν· κἀγὼ πῶς ἐπιθήσω ἐπὶ τὴν κορυφήν σου χεῖρα, ἣν τρέμει τὰ Σεραφίμ; Ἀνεχώρησεν ὁ Ἰορδάνης, ὡς ἐδέξατο τὴν Ἠλιοῦ, δι᾽ Ἐλισσαίου μηλωτήν· πῶς μὴ δύῃ εἰς χάος καὶ βάθος, βλέπων γυμνόν σε ἐν τοῖς ῥείθροις; Πῶς δὲ μὴ φλέξῃ με, ὅλος ἐκ σοῦ πυρούμενος; Τί βραδύνεις Βαπτιστά, τοῦ βαπτίσαι τὸν Κύριόν μου; ὁ Ἰορδάνης βοᾷ πρὸς τὸν Ἰωάννην. Τί τῶν πολλῶν κωλύεις τὴν κάθαρσιν; Πᾶσαν τὴν κτίσιν ἡγίασεν· ἄφες ἁγιάσαι κἀμέ, καὶ τῶν ὑδάτων τὴν φύσιν, ὅτι εἰς τοῦτο ἐπεφάνη.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Καθαρθεὶς τὴν ψυχήν σου, ἀρετῶν ἐπιδόσεσι, θεῖος Ποιμενάρχης ἐδείχθης, τῶν Ῥωμαίων ὦ Σίλβεστρε· καὶ λάμψας ὡς φωστὴρ πλησιφαής, ἐν πράξεσι καὶ λόγοις ἱεροῖς, τῶν εἰδώλων τῆς λατρείας τῆς ἐναγοῦς, κατῄσχυνας τὴν ἀπάτην. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

www.tezaurliturgic.ro



Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Γνῶσιν ἔνθεον, ἐνδεδυμένος, ζῆλον κρείττονα, εἰσδεδεγμένος, Κορυφαίου τὸν θρόνον ἐκόσμησας· καὶ διαπρέψας μεγάλως τοῖς θαύμασι, τὴν σκοτομῆνιν τῆς πλάνης κατήργησας. Πάτερ Σίλβεστρε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Προεόρτιον. Ἦχος δ΄.

Ἑτοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδάμ, σὺν τῇ Προμήτορι· μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Χριστὸν τὸν δι᾽ ἡμᾶς, σαρκωθέντα ποθήσας, ἐδείχθης θαυμαστός, τῶν κρειττόνων ἐργάτης, ὡς ἔμπλεως φρονήσεως, καὶ συνέσεως Σίλβεστρε. Ὅθεν ἔλαμψας, ὥσπερ ἀστὴρ ἐν τῷ κόσμῳ, καὶ κατηύγασας, τὰς τῶν ἀνθρώπων καρδίας, ἀκτῖσι τῆς χάριτος.

Δόξα Πατρί. Ὅμοιον.

Τῆς Ῥώμης ὁ ποιμήν, εὐσεβείας ἡ σάλπιγξ, ὁ μύστης ὁ σοφός, τῶν ἁγίων δογμάτων, ὁ Σίλβεστρος ὁ ἔνδοξος, συγκαλεῖ ἡμᾶς σήμερον, τὴν πανέορτον, μνήμην αὐτοῦ ἐκτελέσαι, τὴν ἐκλάμπουσαν, ὥσπερ φωστὴρ φωτοφόρος, φωτὶ θείας χάριτος.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Προέρχεσθαι Χριστός, ἀγαθότητι μέλλει, πρὸς ῥεῖθρα ποταμοῦ, Ἰορδάνου ἐν τούτοις, ἡμῶν τὴν ἀνάπλασιν, ἀπεργάσασθαι χάριτι. Θεῖε Πρόδρομε, τοῦτον ὑπόδεξαι χαίρων, καὶ τοῖς ὕδασι, τοῦτον θελήσαντα λοῦσον, τὸν μόνον φιλάνθρωπον.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Εὐσεβείας ἐμπρέψας, τοῖς κατορθώμασιν, ὡς ἐρασθεὶς παιδιόθεν, τὸν ἐραστὴν τῶν ψυχῶν, κατηυγάσθης τῷ φωτί, τῆς θείας χάριτος. Ὅθεν θαυμάτων ταῖς βολαῖς, ὑπεραστράψας μυστικῶς, τὸ σκότος τῆς ἀσεβείας, διέλυσας θεοφόρε, Σίλβεστρε πάτερ ἱερώτατε.

Δόξα Πατρί. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῷ ζήλῳ τῆς πίστεως, πυρποληθεὶς τὴν ψυχήν, τῆς πλάνης κατέβαλες, τὴν ἐπηρμένην ὀφρύν, μακάριε Σίλβεστρε· σὺ γὰρ τοῦ Κορυφαίου, ἐν τῷ θρόνῳ καθίσας, τούτου τοὺς θείους τρόπους, ἀληθῶς ἐμιμήσω· διό σε ὁ τῶν πάντων Θεός, ἀξίως ἐδόξασε.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Πεπλήρωται σήμερον, τοῦ Ἡσαΐου φωνή, βοῶντος· Ἑτοιμάσατε, τὴν τοῦ Κυρίου ὁδόν, καὶ τρίβους ποιήσατε· ἤχησε γὰρ ὡς ἔφη, ἡ φιλέρημος σάλπιγξ, ἅπαντας συγκαλοῦσα, Ἰωάννης ὁ πάνυ· διὸ συνδράμωμεν ἅμα, καὶ παράδοξα ἴδωμεν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τῶν θαυμάτων ἐκ Θεοῦ, πάτερ πλουτήσας τὴν ἰσχύν, τὴν παμβέβηλον ὀφρύν, τοῦ παγκακίστου πτερνιστοῦ, εἰς τέλος ᾔσχυνας Σίλβεστρε θεοφόρε· Χριστοῦ γὰρ ὁλικῶς, τρωθεὶς τῷ ἔρωτι, αὐτῷ δι᾽ ἀρετῆς, κατηκολούθησας, καὶ καθαρὸν δι᾽ ἔργων οὐρανίων, δοχεῖον ὤφθης τοῦ Πνεύματος· διὸ τὸ Χαῖρε, μετ᾽ εὐφροσύνης, ἐκβοῶμέν σοι Πάτερ.

Δόξα Πατρί. Ὁ αὐτός. Ἐπεφάνης σήμερον.

Βασιλείας Σίλβεστρε ἀδιαδόχου, ὡς ποιμὴν οὐράνιος, ἐν τοῖς ὑψίστοις μετασχών, μὴ ἐπιλάθῃ δεόμεθα, τῶν ἐκτελούντων, τὴν ἔνδοξον μνήμην σου.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Ἐν τοῖς ῥείθροις ἔρχεται, τοῦ Ἰορδάνου, ὁ Δεσπότης σήμερον, τοῦ βαπτισθῆναι δι᾽ ἡμᾶς, καὶ Ἰωάννης ὁ Πρόδρομος, φρίττων καὶ τρέμων, αὐτὸν ὑποδέχεται.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην

www.tezaurliturgic.ro



καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Εὐαγγέλιον, ζήτει τῇ ιγ΄ Νοεμβρίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ποταμοὶ ὕδατος ζῶντος, ἐκ τοῦ τιμίου σου στόματος, ὑπεραφθόνως ἀναβλύσαντες, τὴν Ἐκκλησίαν κατήρδευσαν, Ἱεράρχα μακάριε Σίλβεστρε· ἥτις σήμερον εὐφραινομένη τῇ δόξῃ σου, τὸν ἕνα ἐν Τριάδι δοξάζει Θεόν, ᾧ πρέσβευε Πάτερ ἀεί, σωθῆναι τὰς ψυχάς ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Προεόρτιος Κανὼν καὶ οἱ Κανόνες τοῦ Ἁγίου. Κανὼν πρῶτος τοῦ Ἁγίου, ἄνευ Ἀκροστιχίδος. Ποίημα Ἰωάννου.

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ.

Τῆς τρυφῆς χειμάῤῥους ὁ Χριστός, νάμασι προέρχεται, δουλοπρεπῶς τοῦ Ἰορδάνου λούσασθαι· τὰ ὄρη σκιρτήσατε, ἀγαλλίασιν οἱ βουνοὶ περιζώσασθε, οἱ ῥερυπωμένοι, κάθαρσιν πρὸς θείαν εὐπρεπίσθητε.

Μυσταρχίας θείας μετασχών, Σίλβεστρε πανένδοξε, τῆς τοῦ Θεοῦ ἱεραρχίας γέγονας, ποιμὴν ὑπερθαύμαστος, καὶ ὡδήγησας τοῦ Κυρίου τὸ ποίμνιον, εἰς τὰς ἀκηράτους, πόας ψυχοτρόφους τε πανόλβιε.

Τῷ ἀδύτῳ φέγγει τοῦ Χριστοῦ, πάτερ ἀστραπτόμενος, καὶ ταῖς αὐτοῦ ἐντολαῖς αὐγαζόμενος, ἅπασιν ἐξήστραψας, ἀκτινοβόλον θεογνωσίας φέγγος τρανῶς, Σίλβεστρε τῷ ζόφῳ, εἰδωλομανίας τοῖς καθεύδουσι.

Θεοτοκίον.

Τὴν Ἁγνὴν ἁγνεύοντι νοΐ, δεῦτε μακαρίσωμεν, τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησε, Λόγος ἐκλεξάμενος, ἣν κατῴκησεν ὡς σκηνὴν ἁγιάσματος, ὡς τιμιωτέραν, πάντων τῶν κτισμάτων ἀνυμνήσωμεν.

Κανὼν δεύτερος τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς· «Ὑμνεῖν σε πίστει τὴν χάριν δίδου μάκαρ. Ἰωσήφ».

Ἦχος πλ. δ΄. Ἡ κεκομμένη τὴν ἄτομον.

Υἱοθετήθης ἐν χάριτι Σίλβεστρε, Θεῷ Πατρὶ καθαρόν, βίον ἀσπασάμενος, καὶ θείαις ἀστραπαῖς, ψυχὴν φωτοειδέστατος, γενόμενος μετῆλθες πρὸς τὸ φῶς, κραυγάζων τὸ ἀνέσπερον· Τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Μεγαλοφρόνως παθῶν κατεκράτησας, καὶ σάρκα ἀσκητικαῖς, ἀγωγαῖς ὑπέταξας, τῷ Πνεύματι σοφέ, θεῖον καταγώγιον, Τριάδος γεγονὼς περιφανῶς, τῆς πονηρίας τὰ πνεύματα, ψάλλων ἐταπείνωσας· Ἐνδόξως γὰρ δεδόξασται.

Νόμῳ τῷ θείῳ ἐνθέως πειθόμενος, καὶ θεοπνεύστου Γραφῆς, γνώσει καλλυνόμενος, Ἑλλήνων τοὺς σοφούς, ἀλήθειαν ἐπαίδευσας, Χριστὸν ὁμολογεῖν σὺν τῷ Πατρί, βοῶντας καὶ τῷ Πνεύματι· Τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Ἐν ὑποστάσει μιᾷ γνωριζόμενον, τὸν σαρκωθέντα Χριστόν, μάκαρ ἀνεκήρυξας, θελήσεσι διτταῖς, καὶ ἐνεργείαις Σίλβεστρε, νοούμενον καὶ πίστει τοὺς αὐτῷ, θεώσαντα κραυγάζοντας· Τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον.

Ἵνα τοὺς κάτω ταῖς ἄνω συνάψειεν, ὁ μόνος πάντων Θεός, μήτραν ἀπειρόγαμον, ὑπέδυ καὶ σαρκός, φανεὶς ἐν ὁμοιώματι, τῆς ἔχθρας τὸ μεσότοιχον ἑλών, εἰρήνην ἐμεσίτευσε, καὶ ζωὴν ἐβράβευσε, καὶ θείαν ἀπολύτρωσιν.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Ἀβύσσους τῷ προστάγματι ὁ ποιήσας, ὁ ὕδασι στεγάζων τὰ ὑπερῷα, ἐν ὕδατι προέρχεται βαπτισθῆναι· ψυχὴ γρηγόρησον, παθῶν καθάρθητι, ἀρετῶν προφέρουσα, τὰ βλαστήματα.

Ὑψούμενος τοῖς πτέρυξι τῆς ἀγάπης, τῆς θείας ταπεινώσεως ὑπερῷα, διέπτης ἀταπείνωτον σου τὴν πίστιν, φέρων ὡς δώρημα, Κυρίῳ τίμιον, στίλβον ὑπὲρ ἥλιον, ἔνδοξε Σίλβεστρε.

Τῶν λόγων ταῖς βολίσι σου σφενδονήσας, τοῖς ῥείθροις τῶν δακρύων σου κατακλύσας, διώλεσας τὴν σπεῖραν τῶν Ἰουδαίων, εὐχαῖς ποντίζων, αὐτῶν τὴν ματαιότητα, δεικνὺς τὴν ἀλήθειαν, ἔνδοξε Σίλβεστρε.

Θεοτοκίον.

Πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους, ἐν ὀδύνῃ ἐξέλιπεν ἡ ζωή μου, κατέδυσα εἰς χάος πλη-

www.tezaurliturgic.ro



μελλημάτων· σῶσόν με Δέσποινα, μὴ ὑπερίδῃς με· προστασίαν ἄμαχον, σὲ γὰρ κέκτημαι.

Κανὼν δεύτερος. Τὸν φόβον σου Κύριε.

Νοὸς καθαρότητα, κτησάμενος Ἱεράρχης γεγένησαι, χρῖσμα ἅγιον δεξάμενος· διό σε θεοφόρε, Πάτερ εὐφημοῦμεν.

Σταυρῷ τὸν τανύσαντα, παλάμας σαρκὶ Θεὸν ἐτράνωσας, λογικαῖς σου ἀποδείξεσι, καὶ Ἰουδαίων θράσος, ὤλεσας παμμάκαρ.

Ἐν θαύμασι μέγιστος, γενόμενος φυγαδεύεις τὰ πταίσματα, καὶ καθαίρεις τὰ νοσήματα, τῶν πίστει αἰτουμένων, Σίλβεστρε θεόφρον.

Θεοτοκίον.

Παρθένος ἁγνή, μετὰ τὴν κύησιν Παναγία διέμεινας· Θεὸν Λόγον γὰρ ἐγέννησας, ἡμῖν ὁμοιωθέντα, χωρὶς ἁμαρτίας.

Κοντάκιον Προεόρτιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τοῖς ῥείθροις σήμερον, τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

Ὁ Οἶκος. Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν.

Οὐκ ἀπαιτῶ σε Βαπτιστά, τοὺς ὅρους ὑπερβῆναι· οὐ λέγω σοι· Εἰπέ μοι, ἃ λέγεις τοῖς ἀνόμοις, καὶ παραινεῖς ἁμαρτωλοῖς· μόνον βάπτισόν με σιωπῶν, καὶ προσδοκῶν τὰ ἀπὸ τοῦ Βαπτίσματος· ἕξεις γὰρ διὰ τοῦτο ἀξίωμα, ὅπερ οὐχ ὑπῆρξε τοῖς Ἀγγέλοις· καὶ γὰρ πάντων τῶν Προφητῶν μείζονά σε ποιήσω· ἐκείνων μὲν οὐδεὶς σαφῶς με κατεῖδεν, ἀλλ᾽ ἐν τύποις καὶ ἐν σκιαῖς καὶ ἐνυπνίοις· σὺ δὲ ἐπὶ σοῦ ἱστάμενον κατὰ γνώμην· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ποταμὸς εὐσεβείας ἀναδειχθείς, τῶν δογμάτων σου ῥείθροις πᾶσαν τὴν γῆν, κατήρδευσας Σίλβεστρε, Ἱεράρχης ὡς ἔνθεος· καὶ θαυμάτων ὄμβροις, παθῶν ῥύπον ἔπλυνας, καὶ τρυφῆς χειμάῤῥουν, ἀξίως κεκλήρωσαι· ὅθεν συνελθόντες, εὐσεβῶς σε τιμῶμεν, ἐν ᾄσμασι σήμερον, καὶ πιστῶς ἐκβοῶμέν σοι· Ἱεράρχα θεσπέσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα Πατρί. Ὁ αὐτός. Ἀνέστης ἐκ νεκρῶν.

Συλήσας ἀρετῶν, τῶν ἀσύλητον πλοῦτον, σαρκὸς τὰς ἡδονάς, ὡς ἀσκήσει νεκρώσας, ψήφῳ τοῦ Παρακλήτου, τοῦ Κορυφαίου Πέτρου διάδοχος, Σίλβεστρε ἀνεδείχθης, οὗ καὶ τὸν ζῆλον ἐκμιμησάμενος, θεογνωσίας λόγον τὸν σεπτόν, ἐκήρυξας σοῖς φθόγγοις.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Ἀόρατε Θεέ, ἀκατάληπτε Λόγε, ἐτέχθης ἐκ Πατρός, ὑπὲρ φύσιν καὶ λόγον· πάλιν δὲ ἐπ᾽ ἐσχάτων, ἐκ τῆς Παρθένου οὐκ ἀλλοιώσας ὃ ἦς, ἔρχῃ καὶ ἐν τοῖς ῥείθροις, τοῦ Ἰορδάνου νῦν βαπτισθῆναι σαρκί, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ἐπείγεται δι᾽ ἡμᾶς βαπτισθῆναι ὁ λύτρωσιν, ἡμῖν παρεχόμενος· τούτῳ χαρᾷ ὑπαντήσωμεν, πᾶσαν ἡδυπάθειαν, καὶ ψυχικὰς τὰς κηλίδας, καθαιρόμενοι.

Τοῦ Πνεύματος θεοφάντωρ ταῖς αὔραις πνεόμενος, ὅρμῳ προσεπέλασας, τῷ γαληνῷ πλοῦτον ἄσυλον, μέγιστον ἐμπόρευμα, τὴν ἐκ δογμάτων σου φέρων, πίστιν Ὅσιε.

Ἐν τῇ πέτρᾳ τῶν δογμάτων Κυρίου πηξάμενος, τῆς λατρείας οἴκησιν, ἀνεμοφθόροις προσκλύσεσι, ταύτην οὐ κατέῤῥαξας, τῶν Ἰουδαίων ἐν λόγοις, μάκαρ Σίλβεστρε.

Θεοτοκίον.

Κεκράξομαι ἐν νυκτὶ καὶ ἡμέρᾳ Πανάμωμε, πρὸς σὲ καὶ σωθήσομαι, καὶ ἡδονῶν ὑπερβήσομαι, τεῖχος καὶ ῥυσθήσομαι, πειρατηρίου δαιμόνων, ταῖς πρεσβείαις σου.

Κανὼν δεύτερος. Εἰσακήκοα Κύριε.

Ἱεράρχης θεόληπτος, χρίων Ἱερέας Θείῳ ἐν Πνεύματι, ἀνεδείχθης πάτερ Σίλβεστρε, καὶ λαοὺς φωτίζων ἱερώτατε.

Συνεργείᾳ τοῦ Πνεύματος, νόσους ἀπελαύνων πάθη ἀνίατα, ἐθεράπευσας πανόλβιε, ἐπιστρέφων πλάνης τοὺς παράφρονας.

Τῶν αἱρέσεων Σίλβεστρε, πλάνην ἐκδιώξας ποίμνην ἐποίμανας, εὐσεβείας βρύων ὕδατα, ἐπὶ χλόην θείας ἐπιγνώσεως.

www.tezaurliturgic.ro



Ἐξεχύθη σοῦ χείλεσι, χάρις Θείου Πνεύματος· διὰ τοῦτό σε, Ἱερέα τοῦ λαοῦ αὐτοῦ, ὁ Θεὸς παμμάκαρ Πάτερ ἔχρισεν.

Θεοτοκίον.

Ἴασαί μου τὰ τραύματα, Κόρη τῆς καρδίας καὶ κατεύοδωσον, τῆς ψυχῆς μου τὰ κινήματα, εἰς Θεοῦ Παρθένε τὰ θελήματα.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

Ὁ φωτισμὸς τῶν ἐν σκότει κειμένων, ἦλθεν ἐφάνη, ὕδασιν ἐπέστη τοῦ Ἰορδάνου· ψυχή μου σπεῦσον, δάκρυσι καθαρθεῖσα, ὑπαντῆσαι τούτῳ τὴν φύσιν ἡμῶν, θέλοντι καθᾶραι τῷ θείῳ Βαπτίσματι.

Τὴν τῶν παθῶν διατμήξας ἐν ῥάβδῳ, τῆς ἐγκρατείας, θάλασσαν ἀβρόχως σαφῶς διῆλθες, Σίλβεστρε μάκαρ, ἀπεχθοῦς κακονοίας, Ἰουδαίων ὡς ὑποβρύχιον, φέρων τῇ ῥοῇ τῶν δογμάτων σου τάξεις αὐτῶν.

Τὴν τῶν παθῶν ἐκκαθάρας ὑλώδη, ἄκανθαν πάτερ, δάκρυσιν ἀπέσβεσας ἀθεΐας, κάμινον χαίρων, ὑποβὰς τοῖς κινδύνοις, τῶν καμάτων Σίλβεστρε ἔνδοξε, καὶ θεογνωσίας τὸ φῶς ἐξανέτειλας.

Θεοτοκίον.

Ἡ πρὸς Θεὸν μεσιτεία ἡ σκέπη, τῶν δεομένων, τῶν ἁμαρτανόντων ἡ σωτηρία, σῶσόν με σῶσον, ἀπολλύμενον Κόρη· τρικυμία παθῶν χειμάζει με, μή με ὑπερίδῃς Ἁγνὴ ὑπεράγαθε.

Κανὼν δεύτερος. Ἵνα τί με ἀπώσω.

Ταῖς πλοκαῖς τῶν σῶν λόγων, ἅπαντα διέλυσας μάταιον σύνδεσμον, καὶ πρὸς θείαν πίστιν, τοὺς τῇ πλάνῃ δεθέντας συνέδησας, διανοίγων πάτερ, τούτων τὸν νοῦν τῇ ἀναπτύξει, τῶν Γραφῶν Ἱεράρχα μακάριε.

Ἡ καρδία σου Πάτερ, ἄμωμος γεγένηται τοῖς δικαιώμασι, τοῦ κοινοῦ Δεσπότου· ὃν ποθήσας σαρκὸς κατεκράτησας, καὶ θαυμάτων χάριν, πεπλουτηκὼς νόσους ἰᾶσαι, καὶ ψυχῶν χαλεπώτατα τραύματα.

Νεμομένης καρδίας, νόσον ψυχολέτειρα δεινῆς αἱρέσεως, τοῦ πικρῶς μανέντος, δραστηρίοις φαρμάκοις τῶν λόγων σου, θεοφόρε στήσας, ὡς ἰατρὸς χάριτι θείᾳ, τοῦ σεπτοῦ ἐφυγάδευσας Πνεύματος.

Θεοτοκίον.

Χαῖρε μόνη τεκοῦσα, τὸν ἀπειροδύναμον σαρκὶ πτωχεύσαντα· χαῖρε τοῦ πεσόντος, ἐπανόρθωσις κόσμου Πανάμωμε· χαῖρε λύπης λύσις, χαῖρε πιστῶν ἡ σωτηρία, χαῖρε θρόνε Θεοῦ ὑψηλότατε.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Τὴν τοῦ δούλου μορφὴν ἐνδυσάμενος, ἔρχεται πρὸς δοῦλον Χριστὸς αἰτῶν βάπτισμα, τοὺς δουλωθέντας πάθεσιν, ἐλευθέρους δεικνύων ἐν χάριτι.

Ἀσεβείας κατέκλυσας χείμαῤῥον, ῥείθρῳ τῶν δακρύων σου καὶ ἐν τῷ οἴκῳ Θεοῦ, ὡσεὶ ἐλαία ἤνθησας, τὸν καρπὸν τῶν δογμάτων σου Σίλβεστρε.

Ἱερέων τῇ τάξει κοσμούμενος, τὸν ἱερουργούμενον μάκαρ ἐκήρυξας, ἀδιαίρετον σύνθρονον, τῷ Πατρὶ καὶ τῷ Πνεύματι Σίλβεστρε.

Θεοτοκίον.

Οὐρανὸν ὁ τανύσας τῷ νεύματι, ἄλλον οὐρανὸν ἐπὶ γῆς σε ἀνέδειξε, Θεογεννῆτορ πάναγνε, καὶ ἐκ σοῦ τοῖς ἐν σκότει ἐπέφανε.

Κανὼν δεύτερος. Τὴν δέησιν ἐκχεῶ.

Ἀπρόϊτον καὶ φρουρᾷ αἰωνίᾳ, συγκλειόμενον εἰργάσω εὐχαῖς σου, τὸν πονηρὸν λυμαινόμενον φθόνῳ, τοὺς προσιόντας μακάριε δράκοντα, ὡς θύρας τε καὶ ὡς μοχλούς, τοῦ Σταυροῦ τὴν σφραγῖδα ἐνθέμενος.

Ῥημάτων σου μελιῤῥύτων ὁ φθόγγος, εἰς τὴν σύμπασαν ἐξῆλθε παμμάκαρ, καὶ διδαχῶν εἰς τὰ πέρατα πάντα, τῆς οἰκουμένης τὸ φέγγος ἐξέλαμψε, θαυμάτων τε τὸ διαυγές, καὶ τῶν ἔργων ἡ θεία ἐπίδειξις.

Ἰάματα καὶ χαρίσματα θεῖα, ἐπομβρίαις ἀναβλύζων πλουσίως, τοῦ παντουργοῦ Ἱεράρχα παμμάκαρ, καὶ Παναγίου ἑκάστοτε Πνεύματος, τοὺς πίστει σοι εἰλικρινεῖ, προσιόντας ἰᾶσαι ἐν χάριτι.

Θεοτοκίον.

Νοήσαντες θεηγόροι Προφῆται, Μυστηρίου σου Παρθένε τὸ βάθος, προφητικῶς προκατήγγειλαν τοῦτο, φωταγωγούμενοι θείῳ ἐν Πνεύματι· καὶ νῦν ἡμεῖς περιχαρῶς, τὰς ἐμφάσεις ὁρῶντες πιστεύομεν.

www.tezaurliturgic.ro



Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Σοφίας Θεοῦ, ἐμπλήσας τὸ στόμα σου, Τριάδος ἡμῖν, τὴν γνῶσιν ἐφανέρωσας, καὶ τὴν ἀθεότητα, τῶν τυράννων κατέβαλες Σίλβεστρε, τῇ σφενδόνῃ τῶν λόγων σου· διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

Ὁ Οἶκος. Τράνωσόν μου τὴν γλῶτταν.

Τοῦ Κορυφαίου τῶν Ἀποστόλων τὴν καθέδραν πλουτήσας, τοῦ Θεοῦ λειτουργὸς ἐδείχθης θαυμασιώτατος, ὡραΐζων στηρίζων καὶ μεγαλύνων, δόγμασι θείοις τὴν Ἐκκλησίαν· ὡς ἀστὴρ δὲ φωτοβόλος, φωτίζων φωτὶ ἀρετῶν, Τριάδα σέβειν διδάσκεις, ὡς ἀμέριστον μίαν Θεότητα· καὶ τὰς αἱρέσεις τῶν δυσμενῶν ἀπεδίωξας, Σίλβεστρε πάνσοφε· διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

Μηνολόγιον.

Τῇ Β΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Σιλβέστρου, Πάπα Ῥώμης.

Στίχοι.

Ζωοῖ νεκρὸν βοῦν, αἰσχύνων Ζαμβρῆν Μάγον,
Ὁ καὶ νεκρὸς ζῶν, Σίλβεστρος Ῥώμης Πάπας.
Θυμὸν ἀποπνείει Σίλβεστρος δευτέρῃ ἠοῖ.

Συναξάριον.

Οὗτος χειροτονεῖται, διὰ τὴν εἰς ἄκρον ἀρετῆς ἀνάβασιν, τῆς Πρεσβυτέρας Ῥώμης Ἐπίσκοπος, τοῦ Μιλτιάδου τὸν βίον ἀπολιπόντος. Πολλῶν οὖν θαυμάτων γενόμενος αὐτουργὸς καὶ τὸν μέγαν ἐν βασιλεῦσι Κωνσταντῖνον πρὸς τὴν εἰς Χριστὸν πίστιν χειραγωγήσας καὶ διὰ τοῦ θείου Βαπτίσματος τὰ τῆς ψυχῆς αὐτοῦ πάθη καὶ τοῦ σώματος ἅμα καθάρας καὶ παρὰ τοῦ Νόμου προκηρυχθέντα τὸν Χριστὸν ἀποδείξας καὶ τὸν ταῦρον ζωώσας, ὃν ἀνεῖλε μὲν ἐπῳδῇ Ἑβραῖος, ἀναστῆσαι δὲ οὐκ ἴσχυσε καὶ πολλοῖς σωτηρίας αἴτιος γεγονώς, ἐν βαθεῖ γήρᾳ πρὸς Χριστὸν ἐξεδήμησε.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ἀντίθεον πρόσταγμα.

Τὰ ἔρημα σήμερον, τοῦ Ἰορδάνου, ἀνθήτωσαν· ἥκει γάρ, Χριστὸς ἡ ἀπολύτρωσις, πυρὶ τῆς Θεότητος, ἀναχωνεῦσαι ἡμᾶς, ὕδατι καὶ Πνεύματι, δεινῶς τοὺς συντριβέντας, τοῖς παραπτώμασιν.

Τοῦ Νόμου τὴν σκότωσιν, χάριτος πάτερ, τῷ φέγγει ἠμαύρωσας, Σίλβεστρε παναοίδιμε· κηρύγματι Ὅσιε, Χριστὸν Θεὸν ἐκφωνῶν, τούτῳ ἀνεκραύγαζες πιστῶς· Εὐλογητὸς εἶ καὶ ὑπερένδοξος.

Σκιᾶς τὴν ἀλήθειαν, ἀντανακλάσας, διηύγασας ἅπασι, θεογνωσίας ἔλλαμψιν, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τούτῳ προσάγων λαόν, πίστει ἀνακράζοντα· Ὁ Σωτήρ, εὐλογητὸς εἶ καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Χωρίον εὐρύχωρον, τῆς ἀχωρήτου, ὑπάρξασα φύσεως, κατάρας ἠλευθέρωσας, τὴν φύσιν Πανάμωμε, τῆς ἀνθρωπότητος· ὅθεν μακαρίζω σε ἀεί, εὐλογημένη καὶ ὑπερένδοξε.

Κανὼν δεύτερος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Δίκαιος ὥσπερ φοῖνιξ, ἐν τῷ οἴκῳ Κυρίου, Πάτερ ἐξήνθησας, καρποὺς δικαιοσύνης· ἐξ ὧν οἱ σὲ τιμῶντες, διατρέφονται ψάλλοντες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἰσχυραῖς τῶν σῶν λόγων, ἀποδείξεσιν εἷλες, τοὺς ματαιόφρονας, νοσοῦντας ἀπιστίαν, καὶ χαίρων ἐμελῴδεις, παναοίδιμε Σίλβεστρε· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Διαμένει ἡ δόξα, εἰς αἰῶνάς σου Πάτερ, καὶ τὸ μνημόσυνον, σὺν πᾶσι τοῖς Δικαίοις, μεθ' ὧν ἡμῶν τῶν πίστει, μελῳδούντων μνημόνευε· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ κλεινὸς Ἱεράρχης, τῇ τοῦ Πνεύματος αἴγλῃ, καταλαμπόμενος, τὸ σκότος τῆς κακίας, διέλυσε καὶ πάντας, τοὺς βοῶντας ἐφώτισεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὑπερθαύμαστε Κόρη, τῶν πρὸ πάντων αἰώνων, ἐκυοφόρησας, ἡμῖν ὁμοιωθέντα, δι' ἄκραν εὐσπλαγχνίαν, ἵνα σώσῃ τοὺς ψάλλοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὁ φωτισμὸς καὶ ἱλασμός, ἐπεφάνη τῶν ψυχῶν ἐν Ἰορδάνῃ, ἡ πηγὴ τῆς σοφίας, ὕδωρ τὸ ζῶν τῆς τρυφῆς, χειμάῤῥουν ἡμῖν χαριζόμενος, ὕδασιν ἐνθάπτων, ἡμῶν τὰς ἁμαρτίας.

Ῥώμης αἰπόλος γεγονώς, ψυχοτρόφος ἱερὸς Σίλβεστρε πάτερ, τοῦ πρωτάρχου σου Πέτρου, κατόπιν ἤλασας, βοήσας ὀρθοδόξως ἅγιε· Σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Παύλου ταῖς θείαις διδαχαῖς, εὐπειθήσας ὡς αὐτὸς ἄστεως θεῖος, ποιμενάρχης ἐγένου, τίμιος ἄκακος, ὅσιος ἄνθρωπος ἰσάγγελος, κράζων σὺν Ἀγγέλοις· Χριστὲ εὐλογητὸς εἶ, εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Λυχνίαν πύλην καὶ πηγήν, καὶ παράδεισον καὶ ὄρος καὶ νεφέλην, ξένην τράπεζαν θρόνον, τῶν Προφητῶν ὁ χορός, σὲ Κόρη προβλέπων ἐκραύγαζε· Χαῖρε ὦ Παρθένε, ἀεὶ εὐλογημένη.

Κανὼν δεύτερος. Νικηταὶ τυράννου.

Μίαν φύσιν Πάτερ, τῆς μιᾶς Θεότητος θεολογήσας, ἐν τρισὶ προσώποις, νοουμένης ἔμελπες ἀκαταπαύστως· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀληθείας Πάτερ, ἀληθὴς διδάσκαλος ἀνηγορεύθης· ψευδωνύμου πλάνης, ὅθεν ἐστηλίτευσας ἀπάτην μέλπων· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Κορυφαῖος ὤφθης, ἱεροῦ συστήματος ἱερομύστα, καὶ τοῦ Κορυφαίου, Μαθητῶν ἐκόσμησας βοῶν τὸν θρόνον· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀρεταῖς ἐνθέοις, Πάτερ τὴν καρδίαν σου κατακαλλύνας, ὅλος ὡραιώθης, καὶ ταῖς ἄνω τάξεσι βοῶν συνήφθης· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥήμασί σου θείοις, γενεαὶ ἑπόμεναι αἱ τῶν ἀνθρώπων, μακαρίζομέν σε τὴν ἀειμακάριστον καὶ μελῳδοῦμεν· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν πρῶτος. Ὠδὴ θ´. Ἀνάρχου γεννήτορος.

Ψυχῶν καθαρτήριον, ἐν Ἰορδάνῃ πάρεστιν, Ἰησοῦς ὁ τῆς δόξης, ἄδυτος Ἥλιος, λύων τῶν παθῶν τὴν ὁμίχλην, τὴν ζοφεράν, δαιμόνων ἀπάτην, ἐξαίρων· φιλέορτοι, τοῦτον πίστει προσκυνήσωμεν.

Ἡ Ῥώμη νῦν γήθεται, πλουτοῦσα ποιμενάρχην σε, τὰ πρωτόλεια μάκαρ, ὡς χειρωσάμενον, τῆς ψυχοβλαβοῦς δυσαχθοῦς τε, ἐχθροῦ Σατάν· σύστημα Ἑβραίων, τροπώσας ἠγάγου γάρ, εὐκλεῶς τὴν νίκην Σίλβεστρε.

Ἀΰλων ταῖς τάξεσιν, Ὁσίων ταῖς χορείαις τε, Ἀθλοφόρων τῇ τάξει, καὶ Ἱερέων σκηναῖς, ἔνθα ἀγαλλίασις πᾶσα, καὶ ἡ χαρά, τῶν ἑορταζόντων, καὶ ἄσκιος ἔλλαμψις, ἔστης χαίρων μάκαρ Σίλβεστρε.

Θεοτοκίον.

Ζωὴν ἡ κυήσασα, βροτῶν εἰς ἀπολύτρωσιν, νεκρωθεῖσαν Παρθένε, τοῖς παραπτώμασι, ζώωσον ἁγνὴ τὴν ψυχήν μου, ὡς συμπαθής, ὡς μόνη προστάτις, τῶν καταφευγόντων σου, ἐν τῇ σκέπῃ παναμώμητε.

Κανὼν δεύτερος. Κυρίως Θεοτόκον.

Ἱέρευσας προθύμως, σεαυτὸν παμμάκαρ, τῶν ἡδονῶν τῇ νεκρώσει καὶ γέγονας, τοῦ δι᾽ ἡμᾶς νεκρωθέντος, θῦμα εὐπρόσδεκτον.

Ὡς θεῖος κορυφαῖος, ἱερῶν Πατέρων, τὸ ἱερώτατον δόγμα ἐκράτυνας, αἱρετικῶν ἀποφράξας, ἄθεα στόματα.

Συνήφθης ταῖς χορείαις, ταῖς τῶν Ἀσωμάτων, τοὺς ἀσωμάτους ἐχθροὺς τροπωσάμενος, περιφανῶς Ἱεράρχα, θεόφρον Σίλβεστρε.

Ἡ μνήμη σου τῷ κόσμῳ, πάτερ Ἱεράρχα, ὡς φωταυγὴς ἐξανέτειλεν ἥλιος, φωταγωγοῦσα τοὺς πίστει, ἀνευφημοῦντάς σε.

Θεοτοκίον.

Φιλάγαθε Παρθένε, τὴν κεκακωμένην, τῇ ἁμαρτίᾳ ψυχήν μου ἀγάθυνον, τὸν ἀγαθὸν ἡ τεκοῦσα, Θεὸν καὶ Κύριον.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Στολὴν ὡς θεοΰφαντον, ἀρετῶν τὰς ἰδέας, παμμάκαρ ἐνδυσάμενος, δι᾽ ἀσκήσεως πόνων, ἐπὶ τὸν μέγιστον θρόνον, τοῦ σεπτοῦ Κορυφαίου, ἐκάθισας ὦ Σίλβεστρε, καὶ ἐκεῖθεν τῷ κόσμῳ, ὡς φωταυγής, ἥλιος ἀνέτειλας καταυγάζων, τὴν Ἐκκλησίαν ἅπασαν, φέγγει ὀρθοδοξίας.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Τῷ χρίσματι τοῦ Πνεύματος, Ἀρχιερεὺς γενόμενος, ὡς Ἄγγελος τῷ Κυρίῳ, τὰς ἀναιμάκτους θυσίας, προσήνεγκας ὦ Σίλβεστρε, ποιμὴν τῆς Ῥώμης κάλλιστε. Ὅθεν λαμπρῶς τιμῶμέν σε, σήμερον πόθῳ τελοῦντες, τὴν παναγίαν σου μνήμην.

Προεόρτιον. Ὅμοιον.

Πῶς ῥεῖθρά σε ποτάμια, εἰσδέξονται Φιλάνθρωπε, τὸν ποταμοὺς καὶ θαλάσσας, ποιήσαντα ἐκ μὴ ὄντων; Πῶς κορυφὴν τὴν ἄχραντον, τὴν σὴν τολμήσει Πρόδρομος, χειροθετῆσαι Δέσποτα; Ὑμνοῦμεν φρίττοντες Λόγε, τῆς σῆς πτωχείας τὸ ὕψος.

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια Προεόρτια γ΄ καὶ τοῦ Ἁγίου γ΄.

Προεόρτια. Ἦχος πλ. β΄. Αἱ Ἀγγελικαί.

Αἱ Ἀγγελικαί, προπορεύεσθε Δυνάμεις, ἐκ τῆς Βηθλεέμ, πρὸς τὰ ῥεῖθρα Ἰορδάνου. Προέρχου Ἰωάννη, καταλείψας τὴν ἔρημον. Χαῖρε Ποταμὲ καὶ εὐτρεπίζου. Πᾶσα δὲ γῆ ἀγαλλιάσθω. Χριστὸς ἔρχεται, τὴν ἁμαρτίαν τοῦ Ἀδάμ, καθᾶραι ὡς εὔσπλαγχνος.

Στόμασιν ἁγνοῖς, καὶ ψυχαῖς κεκαθαρμέναις, δεῦτε μυστικῶς, Βηθλεὲμ μεταχωροῦντες, καὶ πρὸς τὸν Ἰορδάνην, σὺν Χριστῷ ἐπειγόμενοι, ᾄσωμεν αὐτῷ μετ' εὐφροσύνης, αἱ πατριαὶ τῆς γῆς νῦν πᾶσαι, πιστῶς λέγουσαι· Εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

Μέγα καὶ φρικτόν, τὸ μυστήριον ὑπάρχει! ὅτι ὁ Θεός, τοῖς ἀνθρώποις ὡμοιώθη, καὶ ἁμαρτίαν ὅλως, μὴ εἰδὼς ὁ ἀνεύθυνος, ὑπὸ Ἰωάννου βαπτισθῆναι, ἐν ποταμῷ τῷ Ἰορδάνῃ, αἰτεῖ σήμερον. Εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Τοῦ Ἱεράρχου. Ὁ αὐτός. Ὅλην ἀποθέμενοι.

Ὅλος ἐκ νεότητος, Χριστοῦ τρωθεὶς τῇ ἀγάπῃ, τῶν ἐν γῇ ὦ Σίλβεστρε, διαθέσει κρείττονι, κατεφρόνησας, καὶ δι' ἀσκήσεως, ἀρετῶν τὴν θείαν, ἀνελθὼν συντόνως κλίμακα, ψήφῳ τοῦ Πνεύματος, ὤφθης Ἱεράρχης θεόσοφος, καὶ τρόπων σου χρηστότητι, ἔλαμψας τῷ κόσμῳ ὡς ἥλιος. Ὅθεν σε τιμῶμεν, ἐν ὕμνοις χαρμοσύνως οἱ πιστοί, ἐπιτελοῦντες τὴν μνήμην σου, τὴν κοσμοχαρμόσυνον.

Λάμπων ἀπαυγάσμασι, τῶν ἐναρέτων σου τρόπων, καθαρῶς τῷ Κτίσαντι, Σίλβεστρε μακάριε, ἱεράτευσας· ταῖς δὲ λαμπρότησι, τῶν σοφῶν σου λόγων, τῶν εἰδώλων τὴν σκαιότητα, ὄντως ἐδίωξας, καὶ υἱοὺς ἡμέρας ἀνέδειξας, τοὺς πρὶν ἀλόγως ἔνδοξε, ἐν νυκτὶ τῆς πλάνης καθεύδοντας. Ὅθεν ὑπὲρ λόγον, ἐδόξασε Χριστός σε ὁ Θεός· ὃν ἐκτενῶς καθικέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Φέρων τὸν οὐράνιον, ἐν τῇ καρδίᾳ σου ζῆλον, ἤνυσας τὸν δρόμον σου, θεαρέστως Σίλβεστρε, ἱερώτατε· καὶ εἰς τὴν ἄφθαρτον, καταπαύσας λῆξιν, τῶν μισθῶν τῶν θείων πόνων σου, πλουσίως Ὅσιε, παρὰ τοῦ Κυρίου ἀπέλαβες, καὶ ζῇς ζωὴν τὴν κρείττονα, νῦν ἐν Παραδείσῳ θεούμενος. Ὅθεν μὴ ἐλλείπῃς, ἀπαύστως μνημονεύων τῶν πιστῶς, ἐπιτελούντων ἐν ᾄσμασι, τὴν ἁγίαν μνήμην σου.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τίς ἐπαξίως ὑμνήσει, τῆς πολιτείας σου τὰ θαυμάσια; Ἢ τίς ἐξαριθμήσει, τοὺς ὑπὲρ τῆς πίστεως ἀγῶνάς σου, Σίλβεστρε πάτερ ἱερώτατε; Δι' ἀσκητικῶν γὰρ παλαισμάτων, τῶν ἀρετῶν ἀνελθὼν εἰς ἀκρώρειαν, τῇ νεύσει τοῦ Παρακλήτου, τοῦ Κορυφαίου ἐν τῷ θρόνῳ ἐκάθισας· ἀποστολικοῖς δὲ διαπρέψας προτερήμασι, Εὐαγγελίου τοῖς ζωηροῖς διδάγμασι, τοὺς ἐν ταῖς ἀνοδίαις τῆς δυσσεβείας πλανωμένους, πρὸς τὴν ὁδὸν τῆς εὐσεβείας καθωδήγησας, διδάξας αὐτοὺς ὀρθοδόξως προσκυνεῖν, τὴν ἐν τρισὶ προσώποις Θεότητα, τὸν Πατέρα καὶ Υἱὸν σὺν τῷ Πνεύματι. Διὸ σήμερον οἱ πιστοί, τὴν μνήμην σου πανηγυρίζοντες, εὐλαβῶς ἀναβοῶμέν σοι· Ἱλέωσαι ἡμῖν συμπαθῶς, τὸν δοξάσαντά σε Κύριον, τῇ πρεσβείᾳ σου Πάτερ ὅσιε.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός. Ἀνατολίου.

Ἰωάννη Βαπτιστά, ὁ ἐν μήτρᾳ γνωρίσας με τὸν ἀμνόν, ἐν ποταμῷ μοι διακόνησον, μετ' Ἀγγέλων μοι λειτούργησον· ἐκτείνας ἅψαι τῇ παλάμῃ, τῆς κορυφῆς μου τῆς ἀχράντου· καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα, καὶ τὸν Ἰορδάνην ἐπαναστραφέντα, σὺν τούτοις βόησον· Ὁ σαρκωθεὶς ἐκ Παρθένου, εἰς ἡμῶν σωτηρίαν, Κύριε δόξα σοι.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ιγ΄ Νοεμβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Γνώσει οὐρανίῳ καταλαμφείς, θεῖος Ἱεράρχης, ἀναδέδειξαι ἀληθῶς, καὶ τοῦ Κορυφαίου, ἐκόσμησας τὸν θρόνον, δι' ἔργων σου καὶ λόγων, Σίλβεστρε ὅσιε.

Δίστιχον.

*Κυρίλλῳ ὦ Σίλβεστρε ὑμνήσαντί σε*
*Χορήγει εὐνοίας σου ἀεὶ τὴν χάριν.*